Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: rye-ad

*Θεμίστιος ὁ Εὐφραδής* · Themistius the Philosopher

# To Theodosius, Which is the Most Royal of Virtues

*Εἰς Θεοδόσιον· τίς ἡ βασιλικωτάτη τῶν ἀρετῶν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Λόγος* Oration
**Affiliation:** Eclectic

t 1 ΕΙΣ ΘΕΟΔΟΣΙΟΝ ΤΙΣ Η ΒΑΣΙΛΙΚΩΤΑΤΗ ΤΩΝ ΑΡΕΤΩΝ Ἆρα εἴ τις Ὁμήρῳ τῷ γενναίῳ καὶ Θουκυδίδῃ τῷ Ἀθηναίῳ μὴ ἱκανὸς ἐξαγγέλλειν παραπλησίως πολέμους καὶ μάχας ἀνθρώπων, σιγῇ τῷ τοιούτῳ ἀνδρὶ παριτέον εἰς τὰ βασίλεια· ὧν ὁ μὲν εὐθὺς ἐν προοιμίοις τὴν μῆνιν τὴν Ἀχιλλέως παραγγείλας ᾄδειν τὴν Καλλιόπην, ἔπειτα ἐφεξῆς καταλέγει ὁπόσα ἡ μῆνις αὕτη κακὰ ἐφύτευσε τοῖς Ἀχαιοῖς, καὶ ὅσα ἀνέτλη δι᾽ αὐτὴν τὸ Ἑλληνικὸν στρατόπεδον κτεινόμενον ὑπὸ τῶν Τρῴων, ἅτερος δὲ θαρραλεώτερον καὶ μεγαλειότερον ἐναρχόμενος τοῦ λόγου προαγγέλλειν οὐκ ὀκνεῖ τοῖς ἐντευξομένοις ὡς ἐφολκόν τι καὶ ἐπαγωγόν, ὅτι τὸν πόλεμον ἐξηγήσεται τῶν Πελοποννησίων καὶ Ἀθηναίων, μέγιστόν τε καὶ βαρυσυμφορώτατον ἁπάντων κρίνας τῶν πρὸ αὐτοῦ γεγενημένων, καὶ ἐκλογίζεται ἐφεξῆς ὁπόσῳ μείζω καὶ ἀξιολογώτερα τὰ κατὰ τὴν ἑαυτοῦ συγγραφὴν ἢ τῆς Ὁμήρου ποιήσεως.

184 c καὶ τούτοιν μὲν δὴ ἀμφοῖν οὗτος ὁ τρόπος. Ἡσιόδῳ δὲ τῷ Ἀσκραίῳ δόρατα μὲν φρίττοντα καὶ ἀσπίδας συνερειδούσας καὶ ὀλλύντας τε καὶ ὀλλυμένους καὶ αἵματι ῥεομένην τὴν γῆν οὐκ ἐδόκει εἰσενεγκεῖν εἰς τὴν ποίησιν, τὰ δὲ χαμαίζηλα ταῦτα καὶ εἰρηνικὰ καὶ ἀσπαστότερα τοῖς ἀνθρώποις, ὁπηνίκα μὲν χρὴ ἀροῦν, ὁπηνίκα δὲ σπείρειν, ὁπηνίκα δὲ κλᾶν τὰς ἀμπέλους καὶ ἡλίκον τὸν ἄξονα τέμνειν καὶ ἡλίκην σφῦραν.

184 d καὶ ταῦτα ᾄδοντι αὐτῷ ἐκ τοῦ Ἑλικῶνος τὰ ὦτα ὑπεῖχον οἱ Ἕλληνες καὶ ἐκηλοῦντο καὶ ᾤοντο ὠφελίμους οὐχ ἧττον εἶναι τὰς Ἡσιόδου νουθεσίας ἢ τὰς Ὁμήρου ἀνδροκτασίας. Εἴπερ οὖν ἦν τις λογοποιός, ἐν σπουδῇ κἀμοὶ ἦν ἕτερος τούτων τῶν τρόπων καὶ ἔργον τῆς τέχνης.

185 a ἐπειδὴ δὲ ἔχω λόγους εἰσφέρειν τῶν Ὁμήρου εἰρηνικωτέρους, τῶν δὲ Ἡσιόδου βασιλικωτέρους, διὰ τί μοι τῆς αὐλῆς ἡ γλῶττα ἀποκεκλείσεται καὶ οὐκ ἐπιτρέψειε, καθάπερ μοι ἔθος, ἐκ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λειμώνων δρεψαμένῳ ἄνθη ἀκήρατα καὶ ὧν σίδηρος οὐ θιγγάνει, στεφάνους πλέξαι τῷ βασιλεῖ ἀνθρωπίνης εὐδαιμονίας; καίτοι οὐδὲ τὸ θέατρον ὑμῶν, οὗ εἴσειμι δωροφορήσων, ἧττον ἀγαπητὸν οὐδ᾽ ἀμουσότερόν τε καὶ ἀσοφώτερον τοῦ πάλαι δὴ κεχαρισμένου, ἀλλὰ προκάθηται μὲν ἀνήρ, εἰ μὴ λέληθα βουκολούμενος, Ἀμφότερον, θεράπων Ἐνυαλίοιο θεοῖο καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος, παρεστήκασι δὲ ἐν κύκλῳ καὶ περικάθηνται οἱ συγχορευταὶ καὶ συνθιασῶται, κυδρούμενοι ἅπαντες μᾶλλον ταῖς Μούσαις ἢ ταῖς δυνάμεσιν.

185 b

Ἕως οὖν οὔπω καιρὸς ἀναστήσαντι τὴν φάλαγγα καὶ τοὺς οὐλαμοὺς βοηδρομεῖν ἐπὶ Σκύθας τοὺς ἀλιτηρίους, καὶ ἡνίκα ὁ Δεῖμός τε καὶ ὁ Φόβος σχολὴν ἄγετον διὰ τὴν ὥραν καὶ μέλπεσθαι τῷ Ἄρει τέως οὐκ εὐμαρές, αἱ Μοῦσαι εἰσαγέτωσαν τῷ βασιλεῖ τὸν χορόν, συμπαραλαβοῦσαι εἰς τὴν χορείαν τὸν ἡγεμόνα αὐτῶν τὸν Ἀπόλλω.

185 c καὶ γὰρ ἐκεῖνος ὁ θεὸς τοξοφόρος τε ἅμα καὶ μουσηγέτης, καὶ διπλῆ αὐτῷ ἡ σκευή, πρὸς εἰρήνην τε καὶ πολέμους, καὶ ἀμφότερα βασιλεῖ ἐπιτήδειος. δεῖται γὰρ βασιλεὺς τῶν βελῶν μὲν πρὸς τοὺς πολεμίους, τῆς κιθάρας δὲ πρὸς τοὺς ὑπηκόους, ᾗ ἁρμόσει αὐτοὺς καὶ συμφώνους ἀπεργάσεται καὶ παρασκευάσει ἑτοίμους πρὸς τὸν ἀγῶνα, ὥσπερ οἱ παιδοτρίβαι τοῖς ἀθληταῖς οὐκ ἐν τῇ κονίστρᾳ μόνον ἐμβοῶσιν, οὐδ’ ὅταν πυκτεύωσιν οὐδ’ ὅταν παγκρατιάζωσιν, ἀλλὰ καὶ ὅταν οἴκοι διατρίβωσιν ἐπὶ σχολῆς, καὶ μᾶλλόν γε ἐν τῷ καιρῷ τούτῳ· ἐν γὰρ τῇ σχολῇ τοῖς σωφρονοῦσιν ἡ παρασκευὴ πρὸς τὴν ἀσχολίαν, καὶ οἱ τῷ ὄντι ἀγωνισταὶ οὔπω τῆς σάλπιγγος ὀξὺ βοώσης οὐδὲ καλούσης εἰς Πῖσαν ἢ Ἰσθμὸν ἢ εἰς Δελφοὺς ἐν ταῖς παλαίστραις διαπειρῶνται τῶν ἀθλημάτων καὶ τῆς ἀναγκοφαγίας καὶ τῶν ἀκροχειρισμῶν καὶ τῶν ἁλτήρων σὺν πολλῷ τῷ ἑκουσίῳ ἱδρῶτι πρὸ τοῦ ἀναγκαίου.

186 a καὶ ταῦτα ἅπαντα ὑπομένουσιν οὔτε πρὸ παίδων οὔτε πρὸ γυναικῶν οὔτε ὅπως ἂν αὐτοῖς ἀπόρθητοι μείνειαν αἱ πατρίδες, ἀλλὰ πρὸς τὸν κότινον ὁρῶντες ἢ τὸ σέλινον ἢ τὴν πίτυν, ἄλλο δὲ οὐδὲν προὔργου αὐτοῖς οὔτε δίδαγμα οὔτε ἄσκημα ἢ ὅσα φέρει εἰς τὸν στέφανον καὶ τὸ κήρυγμα. ἀνδρὶ δὲ ἄρχοντι πολλῆς μὲν γῆς, πολλῆς δὲ θαλάττης, ὑπηκόους δὲ ἔχοντι καὶ πόλεις ἀναριθμήτους καὶ δήμους ἀδιηγήτους, οὐ τοῦτο ἄρα μόνον φροντιστέον ἐστίν, ὅπως ἂν ἐκείνης τῆς μοίρας ἐξελάσειε τοὺς βαρβάρους εἰς ὅσην ἤδη πρὸ τῆς ἑαυτοῦ ἐπιτροπείας παρῴνησαν καὶ ἐξύβρισαν, ἀλλὰ καὶ ὁπόσην τῆς ὑπηκόου διετήρησαν ἀπαθῆ καὶ ἀλώβητον πολυπλασίω οὖσαν καὶ ἐκ τοῦ Βοσπόρου εἰς Τίγρητα, ὅπως ταύτην ἁρμόσηται καὶ εἰς τέλος διαφυλάξῃ ἄθικτον καὶ ἀκέραιον οὐ τῶν ἔξωθεν μόνον, ἀλλὰ καὶ τῶν ἔνδοθεν ἀρρωστημάτων· καθάπερ, οἶμαι, τοῖς ποιμέσι καὶ τοῖς βουκόλοις ἀναγκαῖον μέν που καὶ κυνῶν φροντίζειν καὶ ἀκοντίων πρὸς τὰ θηρία, οὐχ ἧττον δέ, εἰ μὴ καὶ μᾶλλον, πόας ὑγιεινῆς καὶ ναμάτων ὀνησιφόρων, καὶ τοῦ ἐν καιρῷ μὲν βδάλλειν, ἐν καιρῷ δὲ ἀποκείρειν· ὡς ἡ περὶ ταῦτα ὀλιγωρία καὶ τοῦ συμμέτρου ἀφροντιστία πολὺ χαλεπωτέρα τῶν λύκων τοῖς βουσὶ καὶ τοῖς προβάτοις.

186 c τοῖς μὲν γὰρ λύκοις ἀγαπητὸν ἁρπάσασιν ἐκ τοῦ ποιμνίου διαφυγεῖν τοὺς κύνας καὶ τοὺς ἀλκτῆρας, ποιμένα δὲ ὀλίγωρον ἢ κακοῦργον οὔτε ἐκφυγεῖν δυνατὸν τοῖς βοσκήμασιν οὔτε ἀλέξεσθαι.

186 d καίτοι οὐκ ἴση ἡ φροντὶς ποιμένι τε προβάτων καὶ ποιμένι λαῶν, ἀλλ’ ἡ ἀνθρωποκομικὴ αὕτη τέχνη, ἣν βασιλικήν τε καὶ πολιτικὴν χρεὼν ὀνομάζειν, ζῴου ἐπιμέλειαν ἔχει ποικιλωτέρου τε καὶ πολυπλοκωτέρου ἢ τὰ θρέμματα. θρέμμασι μὲν γὰρ πρὸς ἄλληλα οὔτε δίκαι εἰσὶν οὔτε νόμοι οὔτε ἐγκλήματα, οὔτε δέονται δικαστηρίων ἢ ψηφισμάτων, ἀνθρώποις δὲ ὁ πλείων ἀγὼν πρὸς τοὺς συμφύλους ἢ τοὺς πολεμίους, καὶ τῷ ἐπιστατήσοντι αὐτῶν κατὰ δίκην ἀγρύπνῳ μὲν εἶναι δι’ ἄμφω προσήκει, φυλακτέον δὲ οὐχ ἧττον τὰ εἴσω τοῦ τείχους θηρία, πλείω ὄντα καὶ ἐπιβουλότερα καὶ δυσμαχώτερα τῶν θυραίων.

187 a ὁ γάρ τοι πρόεδρος καὶ σύνθακος τῆς βασιλείας ὁ νόμος, συγκατελθὼν αὐτῇ ἐκ τοῦ οὐρανοῦ πρὸς σωτηρίαν ἀνθρώπων, εἴσω τὴν δύναμιν ἔχει πρὸς τοὺς ὑπηκόους καὶ ἐν τοῖς ὁρίοις τῆς ἀρχῆς, καὶ ἡ δίκη τε καὶ θέμις πρὸς τούτους συνεργοὶ τῷ βασιλεῖ, οὐ πρὸς τοὺς θύραθεν πολεμίους.

187 b Δοκεῖ δέ μοι καὶ ὁ θεσπέσιος Ὅμηρος εἰ καὶ πρὸς τὸν Ἄρην μᾶλλον ἐπικλινής ἐστιν, ἀλλὰ γινώσκων γε ὥσπερ ἡμεῖς ὅτι μᾶλλον μεταποιητέον τῷ βασιλεῖ ᾗ βασιλεὺς τῆς Θέμιδος ἢ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐνυοῦς. καὶ τοῦτο μὲν αὐτοῦ τὸ ἔργον οἰκεῖον καὶ ἐφ’ ᾧ βασιλεὺς ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων, ἐκεῖνο δὲ οὐκ εὐκτόν, ἀλλὰ ἀναγκαῖον· ἐπαινῶν γὰρ τὸν Ἀγαμέμνονά φησιν ὅτι κατ’ ἄμφω εὐδόκιμος, βασιλεύς τ’ ἀγαθὸς κρατερός τ’ αἰχμητής, οὕτω δὴ λέγων, διαιρεῖν ἔοικε τὴν βασιλικὴν τέχνην τῆς πολεμικῆς καὶ μὴ ἐν τῷ ἀγαθῷ βασιλεῖ συλλαμβάνειν καὶ τὸν κρατερὸν αἰχμητήν.

187 c τὸ γὰρ ἀμφότερον οὐχ ἥρμοττεν αὐτῷ, εἰ μὴ ὡς ἄλλο καὶ ἄλλο τό τε ἄρχειν εὖ καὶ τὸ διαφέρειν ἐν τῇ αἰχμῇ. ἀλλ’ οὐ γὰρ θάτερον θατέρῳ, ἀλλ’ ἄρχειν μὲν τῷ βασιλεῖ προσήκει καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων καὶ τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν, καὶ αὐτοῦ δέ, ἂν οὕτω τύχῃ, καὶ ὁπλιτεύειν καλῶς καὶ ἱππεύειν καὶ τοξεύειν ἐπίσκοπα καὶ ἀκοντίζειν, ὥσπερ σὺ καὶ ὁ σὸς ἀρχηγέτης ἄμφω μὲν ἱππικωτάτω καὶ εὐστοχωτάτω, Ἄμφω δ’ αἰχμητά· τό γε δὴ καὶ ἴδμεν ἅπαντες.

187 d ἀλλὰ ταῦτα σφῷν μὲν ἴσως ἐν περιουσίᾳ. Τὸ μέντοι γε ἔργον τοῦ βασιλέως ᾗ βασιλεὺς ἄλλο τι, ὡς ἔοικεν, Ὅμηρος ᾤετο.

188 a αὐτίκα ὅταν μέν τινα τῶν στρατηγῶν ἐγκωμιάζῃ, ὥσπερ σημεῖόν τι αὐτῷ ἐπιτίθησιν ἐκ τῶν ὅπλων ἢ τῆς βοῆς ἢ τοῦ σώματος, τὸν μὲν Ἕκτορα κορυθαίολον, τὸν δὲ Διομήδην βοὴν ἀγαθὸν καὶ τὸν Ἀχιλλέα ποδάρκην καὶ τὸν Αἴαντα ὅτι πάμμεγάς τις ἦν, πελώριον ἕρκος Ἀχαιῶν· ἀρκεῖ δὲ αὐτῷ πρὸς ἔπαινον στρατηγοῦ καὶ ἱππηλασία, φιλοπονία γε αὖ καὶ τλημοσύνη· ὁ γὰρ Ὀδυσσεὺς αὐτῷ καὶ ὁ Νέστωρ ἐκ τούτων τῶν ἐπαίνων ὀνομαστοί.

188 b ὅταν δὲ ὡς βασιλέα θαυμάζῃ τινὰ καὶ ἐπαινῇ καὶ τάττῃ τὸ ὄνομα αὐτοῦ ἐν τῇ ποιήσει, οὔτε κόρυς αὐτῷ ἐνταῦθα ἐν μνήμῃ οὔτε δόρυ οὔτε ὠκύτης, ἀλλ’ ὅτι διοτρεφὴς καὶ διογενὴς καὶ Διὶ μῆτιν ἀτάλαντος, καὶ τὸ ἔργον αὐτοῦ ᾗ βασιλεὺς τοῦτό ἐστι, τὸ Διὶ ὁμοιωθῆναι. ἐκείνου γὰρ ὑποδρηστὴρ καὶ ὑποφήτης, καὶ τῆς ἐκείνου ἀρχῆς οὐ φαύλην ἐπιτέτραπται μοῖραν τὴν ἀνθρωπίνην ἀγέλην.

188 c Καὶ σύ, φίλος· μάλα γάρ ς’ ὁρόω καλόν τε μέγαν τε καὶ οὐ παρελεύσομαι ἄλκιμος ἔσσο. οὐ γὰρ ἀμφισβητήσιμα τὰ τεκμήρια, δι’ ὧν ἤδη ἐπεδείξω. καὶ γὰρ τὴν ἀρχὴν ἐφεξῆς ταξιαρχοῦντα καὶ στρατηγοῦντα τῷ τῆς βασιλείας στεφάνῳ Γρατιανὸς ἀνεκήρυξεν. ἀλλ’ εὖ τοι γίνωσκε, ὦ χρηστέ, ὡς οὔτε κάλλος οὔτε μέγεθος οὔτε ὠκύτης οὔτε ἀλκὴ τὸν ἀγαθὸν ποιεῖ βασιλέα, εἰ μή τι ἴνδαλμα φέροι ἐν τῇ ψυχῇ τῆς πρὸς τὸν θεὸν ὁμοιώσεως.

188 d τοὐντεῦθεν οὖν καὶ αὐτοὶ ζητῶμεν καὶ τὸν ποιητὴν παρακαλῶμεν διδάσκειν ἡμᾶς ὅπως ἄν τις χαμαὶ βαδίζων καὶ σάρκα ἠμφιεσμένος ἔχειν τὸ ἴνδαλμα νομισθείη τοῦ ὑπὲρ τῆς ἄκρας ἁψῖδος καὶ ὑπὲρ ἅπαν τὸ ὂν ἱδρυμένου. ἀκούωμεν τοίνυν αὐτοῦ· οὐ γὰρ εἰς μακρὰν ἡμᾶς ἀνακαλεῖται, ὁπόθεν οἴεται γνωματεύειν τὸν θεοειδῆ βασιλέα· Ὥστε τευ, φησί, βασιλῆος ἀμύμονος, ὅστε θεουδὴς εὐδικίας ἀνέχῃσι· φέρῃσι δὲ γαῖα μέλαινα πυροὺς καὶ κριθάς· βρίθῃσι δὲ δένδρεα καρπῷ, τίκτει δ’ ἔμπεδα πάντα, θάλασσα δὲ παρέχει ἰχθῦς ἐξ εὐηγεσίης· ἀρετῶσι δὲ λαοὶ ὑπ’ αὐτοῦ.

189 a ἡ δίκη οὖν καὶ ἡ εὐδικία τὸ ἔργον τῆς τέχνης ταύτης ἐστί, καὶ ἐντεῦθεν τὸ θεοείκελον καὶ θεοειδές. Καὶ κινδυνεύει ὁ θεῖος Πλάτων παρ’ Ὁμήρου αὐτὸ μεμαθηκέναι· καὶ γὰρ ἐκεῖνος τὴν δικαιοσύνην μετὰ φρονήσεως ὁμοίωσιν λέγει πρὸς τὸν θεόν.

189 b τῷ οὖν τὴν δίκην ταύτην ἀνέχοντι καὶ ἀνορθοῦντι ἰοὺ ἰοὺ ὁπόσα λέγει ἀγαθὰ ἀκολουθεῖν ἡ Καλλιόπη· εὐθηνεῖσθαι μὲν αὐτῷ τὰ λήια, εὐθηνεῖσθαι δὲ τὰ δένδρα καὶ τὰς ἀμπέλους, τίκτεσθαι δὲ πολλὰ μὲν ζῷα, πολλοὺς δὲ ἀνθρώπους, ἅπαντα ἔμπεδα καὶ βιώσιμα· δωροφορεῖν δὲ οὐ μόνον τὴν γῆν τοὺς καρπούς, ἀλλὰ καὶ τὴν θάλασσαν τοὺς ἰχθύας. βαβαί, ὁπόση δύναμις τῆς εὐδικίας, ἧς δικνεῖται τὸ κέρδος οὐ μόνον εἰς τὰ ἀρχεῖα καὶ τὰ δικαστήρια, ἀλλὰ καὶ εἰς τὰ ζῷα καὶ εἰς τὰ φυτὰ καὶ τὰ σπέρματα καὶ τὰ ἔμβρυα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

189 c ὡς μακάριος, ᾧ αὕτη ὑπάρχει ἡ εὐδικία καὶ τὰ αὐτὰ δύναται τῷ Διὶ καὶ κύριός ἐστιν οὐ μόνον τῶν ἀνθρώπων, ἀλλὰ δὴ καὶ τῶν στοιχείων, ὥστε καὶ ταῦτα ποιεῖν ἐγκαρπότερα καὶ γονιμώτερα καὶ πολυωφελέστερα τοῖς ἀνθρώποις. Ταύτης οὖν, ὦ φίλε, πρὸς αὐτοῦ τοῦ Διὸς ἐχώμεθα ἀπρὶξ τῆς θεοῦ, ἵνα ἡμῖν ὁ ὁρμαθὸς οὗτος τῶν ἀγαθῶν ἀνεπίληπτος χορηγῆται καὶ μὴ συγχωρῶμεν ἀπομισήσασαν τὰ ἀνθρώπινα ἀναπτάσθαι εἰς τὸν οὐρανόν, ἀλλὰ φιλοχωρεῖν καὶ συμπαρακαθίζειν ἁγνὴν ἐν ἁγνῷ θρόνῳ, συνδιοικοῦσάν σοι τὰ ἀνθρώπινα.

189 d πρὸς ταύτης δέ σοι τὴν φυλακὴν οὐδὲν οἱ ὁπλῖται, οὐδὲ μὰ Δία οἱ σφενδονῆται καὶ οἱ τοξόται οὐδὲ Ἀρμενίων ἶλαι οὐδὲ Ἰβήρων οὐδὲ τῶν ὑπασπιστῶν οὐδὲ τῶν δορυφόρων δεήσει, ἀλλ᾽ αὐτάρκης σὺ σεαυτῷ· μόνη γὰρ ἡ γνώμη τούτου τοῦ ἔργου κυρία. οὐδέ ἐστιν ἀποφυγὴ οὐδεμία βασιλεῖ ἀμελοῦντι τῆς δίκης, οὐκ εἰς δειλίαν στρατιωτῶν, οὐκ εἰς ῥᾳθυμίαν στρατηγῶν, ἀλλ᾽ οὕτως ἄρα ἴδιον σοῦ καὶ μόνου τὸ ἔργον ἐστίν, ὥστε καὶ καθημένου σοῦ ἐπὶ θρόνου καὶ ῥήμασι σμικροῖς καὶ νεύμασι ψιλοῖς ἔνεστι φυλάττειν τὴν δίκην καὶ τῇ φυλακῇ ταύτῃ ἀνέχειν ἅπασι τὴν ἀρχήν.

190 a ἄθρει γάρ, ὦ σοφώτατε, ὡς ἐγὼ εἰσελήλυθα τήμερον οὐ κολακεύσων οὐδὲ θωπεύσων. οὐ γὰρ ἂν πρέποι ἀνδρὶ τηλικῷδε καὶ ὁμιλήσαντι ἤδη πρὸς τοσούτους αὐτοκράτορας νέους τε καὶ πρεσβυτέρους, ὃν πάντων ἠπίστατο ἠπιώτατον καὶ ἀνεξικακώτατον καὶ πρᾳότατον, τοῦτον καὶ ὑποτρέχειν καὶ θωπεύειν· καὶ ὅτε μάλιστα ἀνεπισφαλὴς ἡ παρρησία, τότε τὴν κακοῦργόν τε καὶ ἀνελεύθερον φωνὴν ἀνθαιρεῖσθαι, ὥσπερ πῶλον εὐγενῆ ἀγριαίνοντα μὲν ἡμεροῦν προσήκει, ἥμερον δὲ φύντα ἐξ ἀρχῆς γελοῖος ὁ καταψήχειν ἐπιχειρῶν καὶ μὴ τῷ φύσει ἀγαθῷ ἀποχρώμενος.

190 b Ἤδη οὖν τρίτος οὗτος ἐνιαυτὸς καὶ ἄγευστός σοι ὁ κάλαμος γραμμάτων θανατηφόρων· ὥστε εἴσεισι μὲν παρὰ τοῦ νόμου πολλάκις ἡ μέλαινα ψῆφος, ἔξεισι δὲ ἀεὶ μεταβάλλουσα εἰς λευκὴν ἐκ τῶν βασιλείων. ὢν γὰρ τἄλλα νομιμώτατος αὐτοκρατόρων οἶσθα ὅπου βασιλικώτερον παραρρῆξαι τὸν νόμον ἢ ἐμπεδῶσαι.

190 c εἰσφοιτᾷ δὲ εἰς τὰ βασίλεια πατάσσων οὐδεὶς τὴν καρδίαν οὐδὲ τοὺς ὀδόντας ἀράσσων οὐδὲ χλωρὸς ὑπὸ δέους, ἀλλ᾽ εὐέλπιδι τῇ γνώμῃ καὶ ἀνεστηκυίᾳ ὥσπερ εἰς τὰ ἄσυλα τῶν ἱερῶν· οὕτω σοι ἵλεω μὲν τὰ ὄμματα, ἀθόρυβος δὲ ἡ φωνή, γαλήνη δὲ ἐπικέχυται παντὶ τῷ προσώπῳ. οὐδ᾽ ἂν προσιδών σέ τις μὴ ἅπαν ἐκβάλῃ τὸ δεῖμα ἐκ τῆς ψυχῆς· ὥστε καὶ τῶν πολεμίων ὁ τέως τὰς σπονδὰς ὑφορώμενος καὶ μηδὲ τραπέζης ῥᾳδίως κοινωνῆσαι θαρρήσας δι᾽ ὑποψίαν νῦν πρόσεισιν ἄνοπλος καὶ ἄνευ σιδήρου, διδοὺς ἑαυτὸν χρῆσθαι ὅ τι ἂν ἐθέλῃς, εἰδὼς ὅτι οὐχ ὡς ἐχθρῷ ἐθελήσεις, ἀλλ᾽ ὡς Ἀλέξανδρος Πώρῳ τῷ Ἰνδῷ καὶ Ἀρταξέρξης Θεμιστοκλεῖ τῷ Ἀθηναίῳ καὶ Ῥωμαῖοι τῷ Λίβυϊ Μασσανάσσῃ.

190 d τοιγαροῦν ὧν τοῖς ὅπλοις οὐκ ἐκρατήσαμεν, τούτους τῇ σῇ πίστει προσηγαγόμεθα αὐτοκλήτους, καὶ ὥσπερ ἡ μαγνῆτις λίθος ἡσυχῇ ἐφέλκεται τὰ σιδήρια, οὕτω καὶ αὐτὸς ἀκονιτὶ ἐφειλκύσω τὸν Γέτην δυνάστην, καὶ ἥκει σοι ἐθελοντὴς ὁ πάλαι σεμνὸς καὶ ὑψηλογνώμων ἱκέτης εἰς τὴν πόλιν τὴν βασιλίδα, οὗ τὸν πατέρα ὁ παμμεγέθης Κωνσταντῖνος εἰκόνι ἀπεμειλίσσετο τῇ νῦν ἔτι ἀνακειμένῃ πρὸς τῷ ὀπισθοδόμῳ τοῦ βουλευτηρίου.

191 a οὕτω δόξα ἀγαθὴ βασιλεῖ πολλῶν ἀσπίδων δυνατωτέρα καὶ ὑπάγεται ἐθελουσίους τοὺς τῆς ἀνάγκης καταφρονοῦντας, καὶ οὐχ οὕτω σοφὸν βούλευμα τὰς πολλὰς χεῖρας νικᾷ ὡς εὐσέβεια καὶ φιλανθρωπία οὐ μόνον νικᾷ τὰς πολλὰς χεῖρας, ἀλλὰ καὶ σῴζει. Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε.

191 b Ἀντωνίνῳ τῷ Ῥωμαίων αὐτοκράτορι, ᾧ τοῦτο αὐτὸ ἐπώνυμον ὁ εὐσεβὴς ἦν, τοῦ στρατεύματος ὑπὸ δίψους αὐτῷ πιεζομένου, ἀνασχὼν τὼ χεῖρε ὁ βασιλεὺς πρὸς τὸν οὐρανόν, ταύτῃ, ἔφη, τῇ χειρὶ προὐτρεψάμην σε καὶ ἱκέτευσα τὸν ζωῆς δοτῆρα, ᾗ ζωὴν οὐκ ἀφειλόμην. καὶ οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατήδεσε τὸν θεὸν τῇ εὐχῇ ὥστε ἐξ αἰθρίας ἧκον νεφέλαι ὑδροφοροῦσαι τοῖς στρατιώταις. καὶ εἶδον ἐγὼ ἐν γραφῇ εἰκόνα τοῦ ἔργου, τὸν μὲν αὐτοκράτορα προσευχόμενον ἐν τῇ φάλαγγι, τοὺς στρατιώτας δὲ τὰ κράνη τῷ ὄμβρῳ ὑποτιθέντας καὶ ἐμπιπλαμένους τοῦ νάματος τοῦ θεοσδότου.

191 c τοσοῦτόν ἐστιν ἀγαθὸν τοῖς ὑπηκόοις δικαιότης τοῦ ἡγεμόνος, ὥσπερ αὖ πάλιν τοῦ μὴ ἀρεστοῦ τῷ θεῷ, μηδὲ ἀρεστὰ ἐργαζομένου ἄρχεται ἡ δίκη οὐκ ἀπ’ αὐτοῦ εὐθύς, ἀλλὰ ἀπὸ τῶν ἀρχομένων. Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο, καίτοι ὁ στρατὸς οὗτος οὐ συνηγρίαινε πρὸς τὸν Χρύσην τῷ Ἀγαμέμνονι, ἀλλὰ τοὐναντίον καὶ ἐπευφήμησαν ἅπαντες αἰδεῖσθαί θ’ ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα.

191 d εἰ δ’ αὖ καὶ ὁ στρατὸς ξυνηδίκει, ὅτι συνεχώρει, ἀλλὰ τούς γε ὀρεῖς καὶ τοὺς κύνας τί τοὺς ἀθῴους ὁ ὀϊστὸς ἐν τοῖς πρώτοις ἐπεπορεύετο; ἀλλὰ διδάσκει, ὡς ἔοικεν, Ὅμηρος ἡμᾶς τὰ μὲν τῶν ἰδιωτῶν πλημμελήματα εἰς αὐτοὺς ἵστασθαι τοὺς πλημμελοῦντας, ταῖς δὲ τῶν βασιλέων ἀγνωμοσύναις ὑπεύθυνον γίνεσθαι καὶ τὸ ὑπήκοον. εἶτα ὥσπερ φῶς ἐκχεόμενον ἀκήρατον ἐξ ἀκηράτου λαμπτῆρος ἡ τῆς σῆς γνώμης ἀγαθοεργία ἅπαντας μὲν καταυγάζει καὶ τοὺς πόρρω καὶ τοὺς πλησίον, ἐκδηλότερον δὲ τοὺς ἀγχοῦ ἑστῶτας.

192 a Οὐκοῦν οὐδὲ ὁ περιεστώς σε οὗτος χορὸς οὐδὲ οἱ τοῦ χοροῦ κορυφαῖοι δυσπρόσιτοί τε καὶ συννεφεῖς καὶ οὐ ῥᾴτεροι ἀτεχνῶς, ὥσπερ τοὺς δράκοντάς φασιν ἐν ταῖς χειαῖς κακὰ φάρμακα βεβρωκότας ζητεῖν ὅτῳ ἂν ἐγχρίψαιντο τὴν τοῦ ὀλέθρου παρασκευήν, ἀλλὰ ἅπασιν αὐτοῖς ὥσπερ νομίσμασιν ἡ σὴ εἰκὼν σεσήμανται καὶ εἰς ἓν λάμπει ὁ σὸς χαρακτὴρ τῇ πρὸς τὸ καλὸν εὐαγωγίᾳ, καὶ μεμίμηται ἕκαστος ᾗ δύναται τὸν ἀρχηγέτην ὥσπερ ὁ ἀρχηγέτης αὐτὸς τὸν θεόν.

192 b ἣν γὰρ ἔφη Πυθαγόρας ὁ Σάμιος εἰκόνα πρὸς θεὸν εἶναι ἀνθρώπους, μόνη, ὡς ἔοικεν, ἐστὶν εὐποιία, πρὸς ἣν ἀνεπτέρωταί σοι αὐτοφυὴς καὶ αὐτοκέλευστος ἡ ψυχή, καὶ θᾶττον ἄν τις ἀπείποι ἀπαιτῶν ἢ σὺ διδοὺς καὶ ἐπινεύων. ἀλλ’ ὅμως χρυσίον μὲν οἶσθα καὶ δωρεῖσθαι τοῖς ὑπηκόοις καὶ ἀφιέναι τοῖς ὑπευθύνοις, γλυκὺ δέ σοι καὶ τὰ ἐλλείμματα ἀπολύειν χαλκοῦ καὶ σιδήρου καὶ ἵππων καὶ ὑφασμάτων, μόνα δὲ τὰ τῶν λόγων ἐλλείμματα οὐκ ἀνέχῃ οὔτε συγχωρεῖν οὔτε εἰς χρόνον τινὰ ἀνατίθεσθαι, ἀλλ’ ἐπὶ ταύτης μόνης τῆς εἰσφορᾶς δυσίατος ἄρα ἦσθα καὶ ἀπαραίτητος, καὶ οὐκ ἐπιτρέπεις τὴν εἴσπραξιν ταύτην ἀρχῇ τινι οὐδὲ στρατιώτῃ, ἀλλ’ αὐτὸς στρατηγός, αὐτὸς ἀποδοχεὺς τῶν ὀφλημάτων τούτων, αὐτὸς ταμίας· οὐδὲ παραδίδως ἑτέροις φυλάττειν αὐτὰ ἃ ἂν εἰσπράξῃ, ἀλλ’ ἐν τῇ ψυχῇ τῇ σεαυτοῦ κατασημαίνῃ καὶ θησαυρίζεις· καὶ διὰ τοῦτο ἄρα τοῦ εὖ ποιεῖν ἄπληστός σοι καὶ ἀκόρεστος ἐντέτηκεν ἐπιθυμία, ὅτι καλοῦ εὐποιία δίδωσιν ἀφορμὰς τοῖς ἀθωπεύτοις ἐπαίνοις καὶ ἐλευθέροις, ᾗ σὺ καταπυκνοῖς τὴν βασιλείαν ὅσαι ἡμέραι καὶ ὅσαι ὧραι.

192 d ὥστε εἴ τις ἀπαριθμήσειεν ὅσους μὲν ἐρρύσω ἀειφυγίας, ὅσους δὲ ἐξεῖλου θανάτου, ὅσοις δὲ ἐπανῆρας τοὺς πατρῴους οἴκους, ὅσοις δὲ ἐχορήγησας ἐκ τῶν ταμιείων ἀπορουμένοις, οὐκ ἐλάττονας τὸν ἀριθμὸν εὑρήσει τῶν ἡμερῶν ὧν βασιλεύεις. Καλὸν οὖν λόγον καὶ βασιλικὸν τὸν Τίτου τοῦ αὐτοκράτορος ἔργῳ ἁμιλλᾷ παραδραμεῖν, οὐ μόνον ἡμέραν ἀβασίλευτον μὴ παρελθεῖν, ᾗ οὐκ ἔνεστιν εὐποιία, ἀλλὰ μηδὲ ὥραν φιλονεικῶν.

193 a ἐῶ γὰρ ὅτι μηδὲ αἱ νύκτες αἱ σκοτειναὶ καὶ ἀφεγγεῖς τῆς σῆς βασιλείας, ἐν αἷς καθεύδειν ἐπ’ ἄμφω ἔνεστι δειμάτων τε καὶ φροντίδων ἀπηλλαγμένους. ὥστε εἰ καθάπερ Τίτῳ ἐδόκει τοσαυτάκις καὶ σὺ βασιλεύεις ὁσάκις εὖ ποιεῖς, ἐγγὺς ἂν εἴης τοῦ ὑπεραίρειν τῷ πλήθει τοῦ χρόνου τὸν Σεβαστόν. Ἐγὼ δὲ οὐ φαυλότερον τίθημι τούτων τὸν ἀριθμὸν τῶν Ἀλεξάνδρου τροπαίων· ἐκείνῳ μὲν γὰρ καὶ Ἀντίπατρος ἠμφισβήτει καὶ Παρμενίων καὶ οἱ πεζέταιροι καὶ οἱ Ἀγριᾶνες, ταύτης δὲ μόνης τῆς νίκης αὐτουργὸς σὺ καὶ αὐτοκράτωρ, καὶ ταύτην ἐποικοδομῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀεὶ καὶ συναύξων ἀναβήσῃ, ὥσπερ βαθμοῖς χρώμενος ταῖς εὐποιίαις, ὑψοῦ ἄνω καὶ ἐγγὺς τῆς αὐλῆς τοῦ Διός.

193 b οὗτοι γὰρ μόνοι οἱ βαθμοὶ ἀνάγουσιν εἰς τὸν οὐρανόν, οὐκ Ὄσσα οὐδὲ Ὄλυμπος οὐδὲ Πήλιον, ἀλλόκοτοι ἀλλοκότων ἀνθρώπων βουλαὶ καὶ ἐλπίδες· μόνῳ δὲ ἀμβατὸς οὐρανὸς ὅτῳ ἔνεστιν οἰκοδομεῖν τὴν ἀνάβασιν ταύτην εὐεργεσίαις ἀνθρώπων.

193 c καὶ περὶ τούτου μᾶλλον προσήκει ἀμφισβητεῖν τὴν Πυθίαν, Δίζω εἴ σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον ἢ περὶ Λυκούργου τοῦ Σπαρτιάτου. Λυκοῦργος μὲν γάρ, εἰ καὶ λίαν κητώεσσα ἦν ἡ Λακεδαίμων, ἀλλὰ μίαν γε πόλιν ἐκ βίου ἀτάκτου συνήρμοσεν εἰς εὐνομίαν, σοὶ δὲ τῶν ἐν Σπάρτῃ ἀνθρώπων πλείους αἱ ὑπήκοοι πόλεις, καὶ εἰ ταύτας ἐμπλήσειας εὐδαιμονίας, οὐκέτι θωπεύοντες οὐδὲ ἐξαπατῶντες τὸ χρυσοῦν ὄνομά σοι τοῦτο προσάψομεν, τὴν θεότητα, ἀλλ᾽ ὡς οἷόν τε ἀληθινῶς καὶ ἀθωπεύτως.

193 d θεοὶ γὰρ δοτῆρες ἐάων, καὶ τοῦ αὐτοῦ ἔργου αὐτοῖς κοινωνῶν ἐν τῷ αὐτῶν χορῷ ἐγγραφήσῃ, καὶ πᾶσαι ἔσονταί σοι ἐκεῖθεν αἱ ἐπωνυμίαι, ὁ σωτήρ, ὁ πολιεύς, ὁ ξένιος, ὁ ἱκέσιος, τοῦ Γερμανικοῦ ὑψηλότερα ὀνόματα καὶ τοῦ Σαρματικοῦ.

194 a ἥξουσι μὲν γὰρ καὶ αὗται αἱ ἐπιρρήσεις οὐκ εἰς μακράν, ἀλλ᾽ ἥξουσί σοι σὺν τῷ Δείμῳ καὶ τῇ Ἐνυοῖ, δαίμοσι χθονίοις καὶ ἐπὶ γῆς διαιτωμένοις, οὓς ἀναγκαίους ποιεῖ κάκη ἀνθρώπων. ἐν οὐρανῷ δὲ οὔτε Δεῖμος οὔτε Ἐνυὼ οὔτε μὴν Κυδοιμὸς οὔτε Κῆρες. ἵνα γὰρ πηγαὶ ζωῆς, ἵνα πηγαὶ εὐδαιμονίας, πόρρω ἐκεῖθεν οὗτος ὁ χορὸς ἀπελήλαται. ἀλλ᾽ οὔτε οἱ δύο πίθοι κατάκεινται ἐν Διὸς οὔδει, κηρῶν ἔμπλεοι, ὁ μὲν ἐσθλῶν, ὁ δὲ δειλῶν· κακῶν γὰρ οὐκ ἔνεστιν ἐν τῷ οὐρανῷ ταμιεῖον.

194 b ἀλλὰ τὸν ἕτερον πίθον αὐτοὶ μὲν ἐμπίπλαμεν, αὐτοὶ δὲ καὶ ἐκκενοῦμεν. ἢ δειξάτωσαν ἐν τῇ βουλῇ τοῦ βασιλέως πίθον καὶ στεναγμῶν καὶ δακρύων, ὥσπερ ἐγὼ ἂν ἐπιδείξαιμι ζωῆς καὶ ὄλβου καὶ πλούτου καὶ πρᾳότητος καὶ εὐδικίας πολλοὺς καὶ μεγάλους καὶ ὑπερχειλεῖς· ὧν ἀρυόμενος καὶ ἀπαντλῶν, ἐξ ὅσου τὴν ἁλουργίδα ἐνήψατο, οὐ λήγει ἐποχετεύων καὶ ἐπάρδων τοὺς ὑπηκόους. αἵματος δὲ οὐκ ἔνι πίθος αὐτῷ οὐδὲ δείματος οὐδὲ φρίκης, ἀλλὰ καὶ ὅπου ἔλαθε κατορωρυγμένος μένει εὐρωτιῶν καὶ τὸ πῶμα αὐτῷ ἐπίκειται καὶ συνήλειπται, καὶ οὐκ ἀποκέκλεισται ἡ ἐλπὶς μόνη, τὰ δὲ κακὰ ἐκκέχυται εἰς τοὺς ἀνθρώπους, ἀλλὰ τοὐναντίον τὰ μὲν καθειργμένα κατασεσήμανται δεσμοῖς ἀλύτοις ἢ καὶ ἀδαμαντίνοις, ἐξέπτη δὲ ἡ ἐλπὶς μόνη τῶν ἀγαθῶν, καὶ διὰ τοῦτο ἅπαντα πλέα ἐστὶν ἐλπίδος ἀγαθῆς.

194 c Ὀρφανία δὲ ὄνομα φροῦδον καὶ οὐδεὶς ἀπάτωρ τά γε νῦν, ἀλλὰ καὶ οἷς ἀνάγκη τις οὐκ εὐδαίμων νηπίοις ταύτην ἐπέκλωσε τὴν δυσποτμίαν ἀντὶ ἰδιώτου πατρὸς ἀντηλλάττοντο βασιλέα.

194 d κληρονομεῖν δὲ παῖδας γονέων τὰ μὲν ἄλλα σύμπαντα ἐᾷς, τὰ δὲ ἐγκλήματα μόνα οὐ συγχωρεῖς, ἀλλὰ συναποθνήσκει τοῖς πλημμελήσασι καὶ οὐ γίνεται τῶν πταισάντων μακροβιώτερα, οὐδὲ εἰσπράττῃ δίκας ἀδικημάτων τοὺς κολασθησομένους προγενεστέρων. Πλέομεν δὲ ὥσπερ ἐν νηὶ δυοῖν κυβερνήταιν ἐφεστηκότων τῇ ναυτιλίᾳ πρὸς τὸν ἐξαίφνης ἐπιπεσόντα χειμῶνα, καὶ τῶν κυμάτων τὰ μὲν κατεστόρεσται ἤδη, τὰ δὲ οὐχ οὕτω κορυφοῦται καὶ ἀγριαίνει.

195 a εὖ γὰρ ποιοῦντες ἐκ κοίλης νεὼς ἐπὶ τὰ ἰκρία ἄμφω ἀναβεβήκατον, ἔνθεν ἄποπτον ἅπαν τὸ πέλαγος, οὗ μὲν τραχὺς ὁ κλύδων, οὗ δὲ ἄρχεται γαληνιᾶν. περισκοποῦντε οὖν κύκλῳ καὶ περιαθροῦντε ἀντιλαμβάνεσθον τῶν οἰάκων· παρειλήφατον γὰρ τὴν ναῦν οὐχ ὁρμοῦσαν ἐν λιμέσιν ἐφ᾽ ἡσυχίας οὐδὲ πλέουσαν οὔρῳ εὐκραεῖ καὶ πλησιστίῳ, ἀλλὰ τρικυμίας ἁπανταχόθεν ἐπηγερμένης καὶ ζεούσης τῆς θαλάσσης ἔνθεν καὶ ἔνθεν καὶ τῶν τοίχων ἤδη πεπονηκότων· καὶ δεῖ σφῷν τῆς ἄκρας ἐπιστήμης καὶ τλημοσύνης μᾶλλον ἢ Ἀντιόχῳ τε καὶ Ἀρίστωνι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

195 b ἰδοὺ γὰρ πηλίκη ἡ ναῦς, ἣν κυβερνᾶτον, καὶ ὁπόσοι οἱ ἐν τῇ νηὶ ταύτῃ ἐμπλέοντες καὶ ὁπηλίκαι τῷ σκάφει ἐπικρέμανται καταιγίδες. ὕπνου οὖν οὔπω καιρὸς οὐδὲ ῥᾳστώνης οὐδὲ ᾠδῆς οὐδὲ κρατήρων. ἀλλὰ ταῦτα ἅπαντα γαλήνης παραμυθία καὶ ἡδύσματα, ἡνίκα οὐ κίνδυνος καὶ τῷ κυβερνήτῃ ἀποθαρρεῖν καὶ τοῖς ναύταις παρεῖναι τὰς κώπας, τηνικαῦτα δὲ οὐ χαλεπὸν καὶ τῷ ἐσχαρεῖ καὶ τῷ θαλαμίᾳ μεταλαμβάνειν τοὺς οἴακας· οὐ γὰρ δεῖται ἀκριβοῦς τέχνης ἡ πολλὴ γαλήνη· ὅταν δὲ Σὺν δ’ Εὖρός τε Νότος τε πνεύσῃ Ζέφυρός τε δυσαής, τότε δὴ τότε Οὐ παντὸς ἀνδρὸς εἰς Κόρινθόν ἐσθ’ ὁ πλοῦς, ἀλλὰ τοῦ κυβερνητικωτάτου καὶ ἀγρυπνητικωτάτου, καὶ ᾧ πειθήνιοι μὲν οἱ ἐρέται, πειθήνιος δὲ ὁ πρῳρεύς, εἴκει δὲ αὐτοῦ τοῖς νεύμασι καὶ ὁ τῇ πρύμνῃ ἐπιστατῶν, κεῖνται δὲ οἱ κάλοι καὶ οἱ πρότονοι καὶ οἱ πόδες εὖ καὶ ἐπισταμένως διακεκριμένοι, ὥστε πρόχειροι εἶναι πρὸς τὴν ἐπιοῦσαν χρείαν καὶ τὰς ἐμβολὰς τῶν πνευμάτων.

195 d Ὅπερ οὖν ἐν νηὶ κυβερνητικὴ τέχνη ἐστί, τοῦτο ἐν πόλει ἀρχικὴ ἀρετή. καὶ δεῖ ταύτην καὶ ἑκοῦσαν πείθεσθαι καὶ ἄκουσαν συναναγκάζειν, ὡς ἂν μὴ πόρρω ἀποστατοίη τῆς τῶν κοινῶν ἐπιμελείας. ἀρετὴ δὲ εἰς τὰ κοινὰ ἑλκομένη καὶ φύεται μᾶλλον καὶ ἐκπονεῖται· ἀσκεῖται γὰρ ἀεὶ τὸ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. καὶ τηνικαῦτα δῆλόν ἐστι σοφῶς εἰρημένον τό, ἀρετῶσι δὲ λαοὶ ὑπὸ τῶν ἀγαθῶν βασιλέων. ταχεῖα γὰρ ἦν καὶ τῷ πλήθει πρὸς τὰ ἔντιμα ἡ ἐπίδοσις.

196 a τρέφει δὲ ἀρετὴν οὐ τιμὴ μόνον, ἀλλὰ καὶ μελέτη καὶ προσεδρεία, καὶ τὸ ἐνδιατρίβειν τῷ ἔργῳ ὃ προχειρίζεται. εἰ δὲ ἅμα τε ἀναβαίνοι ἐπὶ τὸ βῆμα καὶ ἀπαλλάττοιτο, ἐκλάμπουσα ἀκαρῆ καὶ σεμνυνομένη ὠκύμορον καὶ ἠλιτόμηνον κάλλος, οὐ πολλοὺς ἂν κινήσειεν ἐραστάς. χρὴ οὖν αὐτὴν ἐοικέναι δολιχοδρόμῳ μᾶλλον ἢ σταδιεῖ, καὶ μὴ πρώτῃ εὐθὺς νύσσῃ καταπαύειν, ἀλλ’ ἐπιέναι πλείονας κύκλους. οὕτω γὰρ ἂν μᾶλλον ἐκφήνειε τὴν δύναμιν καὶ τὴν ἀγλαΐαν.

196 b ὁρῶμεν δὲ καὶ τοὺς ἡνιόχους ὅτι ἐν χρόνῳ τοὺς ἵππους καταμανθάνουσι καὶ πρὸς ὅ τι ἔργον ἑκάστῳ χρηστέον. Ἀνδρὶ δὲ πόλεις καὶ δήμους ἡνιοχοῦντι πλείονος δεῖ ἐμπειρίας τῶν ὑπηκόων, ἢ ἀνάγκη αὐτῷ ἔσται πολλάκις τὰ χαλινὰ ἐπαλλάττειν καὶ τὰς ἡνίας, καὶ τὰ μὲν πρόσω μὴ πάνυ ὁρᾶν, ὀπίσω δὲ ἀεὶ τετράφθαι τῇ γνώμῃ πρὸς τοὺς διώκοντας, ὁπότε ἐπιδραμόντες τοῦ δίφρου αὐτὸν ἐκβαλοῦσιν οὗ ἐπιβέβηκε. οὔτ’ οὖν ἔργον ὑπάξεται ἀχρόνως ὃ χρόνου δεόμενον οἶδεν οὔτε δικάσει πρᾴως οὔτε εἰσπράξεται εὐμενῶς.

196 c τὸ γὰρ πρᾴως αὐτῷ πανταχοῦ ἡ σπουδὴ οὐ συγχωρήσει καὶ τὸ δέος τῶν κατὰ πόδας ἐπελαυνόντων. κολοβὰ οὖν καὶ ἀτελῆ σύμπαντα τὰ τῶν τοιούτων ἀρχόντων ἐγχειρήματα καὶ ἠλιτόμηνα ἀτεχνῶς, ἅτε καὶ αὐτῶν ἠλιτομήνων. δεῖ δὲ οὔτε ἵππων οὔτε ὅπλων ὑμῖν οὕτως ἀκριβῶς ἐξητασμένων ὡς ἀνδρῶν, ὅσοι διαλαγχάνουσι τὰς τῶν θεῶν ἐπιτροπείας. θεῷ μὲν γὰρ οὔτε ὀφθαλμοὶ οὔτε ὦτα διακονοῦνται οὔτε γνώμη σώματι ἐνδεδεμένη, ἀλλὰ πάρεστιν ἁπανταχοῦ, ὅλως ἄφετος καὶ ἀκώλυτος, τῷ κόσμῳ ἐπιστατῶν, οὗ βασιλεύει.

196 d καὶ διὰ τοῦτο αὐτῷ πολλὴ ῥᾳστώνη καὶ βαίνοντι δι’ ἀψόφου κελεύθου κατὰ δίκην τὰ θνητῶν ἄγειν. ἀνθρώπῳ δὲ ἄρχοντι καὶ συνάρχοντι σχεδὸν ἁπάσης γῆς καὶ θαλάσσης πολλὰ μὲν ὦτα ὑπηρετοῦντα ἔχειν ἀνάγκη, πολλοὺς δὲ ὀφθαλμούς· ἢ οὐκ ἂν ἄλλως ἐξαρκοίη πρὸς τὸ μέγεθος τῆς ἀρχῆς. χρὴ οὖν μάλιστα ὑγιαίνειν τούτου τοὺς ὀφθαλμούς, 〈 *** 〉 ὅτι χρὴ μάλιστα ὑγιαίνειν τὰς ἀκοὰς καὶ τὰ σὰ ὄμματα.

197 a καὶ οὕτω δὴ πεφραγμένω ἄμφω πρός τε ἕω καὶ πρὸς ἑσπέραν ἴσα βαίνοντε, φρονοῦντε, τὴν ἀγαθὴν ἅμιλλαν ἁμιλλωμένω, ἐπανάξετον οὐ σὺν πολλῷ πόνῳ εἰς τὴν προτέραν τάξιν τὴν Ῥωμαίων ἡγεμονίαν καὶ τὰ τραύματα ἐξακέσεσθον, ἃ τέτρωται πρὸ τῆς σφῷν ἐπιστασίας, ὁρμηθέντες ἔνθεν καὶ ἔνθεν καὶ εἰσθλίψαντες εἴ τι ἐν μέσῳ τοῦ δυσωνύμου καὶ ἀθεμίτου φύλου ἀπορραγὲν λείψανον ἐμμεμένηκεν. ἔχειν δὲ χρὴ θυμὸν ἀγαθόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

197 b Ῥωμαίων γὰρ οὔπω βάρβαροι κεκρατήκασιν, ἀλλὰ τάξις ἀταξίας κρείττων ἐφάνη καὶ κόσμος ἀκοσμίας καὶ θάμβους θαρραλεότης καὶ τὸ εὐπειθὲς τοῦ δυσηκόου. ταῦτα γὰρ ὅπλα, οἷς νικῶσιν ἄνθρωποι ἀνθρώπους. ἀσπίδες δὲ ἐπίχρυσοι καὶ ἐπάργυροι καὶ λίθοι ἀστράπτοντες καὶ ἵππος σιδήρῳ ἠμφιεσμένη οὐχ ὅπλα ἄρα ἐστίν, ἀλλ’ ἆθλα τῶν νικᾶν ἐπισταμένων. Χρυσὸν δ’ Ἀχιλεὺς ἐκόμισσε δαΐφρων. καὶ οὐδὲν θαυμαστὸν τὰ τῆς ἀρετῆς ὅπλα ἐπικρατέστερα καὶ ἐγγυώτερα εἶναι ὧν δημιουργοῦσιν ἀσπιδοπηγοὶ καὶ χαλκοτύποι.

197 c τάξιν καὶ τόλμαν καὶ εὐπείθειαν εἰς τὴν φάλαγγα ὑμῖν ἐπανακτέον, καὶ ταύταις ἐπανιούσαις συνεπανήξει εὐθὺς καὶ ἡ νίκη. ἀδελφαὶ γὰρ ἀλλήλων καὶ συστρατιώτιδες καὶ συναυλίζονται τὰ πολλὰ ἐν τοῖς στρατοπέδοις, καὶ σπάνιον εἴ ποτε ἀποσκηνοῖντο νίκη καὶ ἀρετή. Λακεδαιμονίοις τοῖς πάλαι πολέμῳ πιεζομένοις ὑπὸ Μεσσηνίων ἀνεῖλεν ὁ θεὸς συμμαχίαν αἰτεῖσθαι Ἀθήνηθεν.

197 d πρεσβευσαμένοις δὲ τοῖς Λάκωσιν οἱ Ἀθηναῖοι καὶ συμμαχίαν τὴν πυθόχρηστον αἰτησαμένοις οὐχ ὁπλίτας ἔδοσαν οὐδὲ ἱππέας οὐδὲ μὰ Δία ψιλοὺς ἢ γυμνῆτας, ἀλλὰ Τυρταῖον τὸν ποιητήν. ᾔδεσαν γὰρ ἅτε σοφοὶ ὄντες Ἀθηναῖοι τοῖς μὲν σώμασι Λακεδαιμονίους Μεσσηνίων οὐχ ἡττωμένους, θάρσει δὲ καὶ προθυμίᾳ βελτίους γίνεσθαι καὶ ἰσαρίθμους ἰσαρίθμων καὶ πολλῷ ἐλάττους πλειόνων, ὥσπερ αὐτοὶ οὗτοι οἱ Λάκωνες τετρακόσιοι ὄντες οὐκ εἶξαν μυριάσι βαρβάρων ἀναριθμήτοις, οὐ Λούκουλλος Τιγράνῃ, οὐδὲ Πομπήιος Μιθριδάτῃ, οὐδὲ Καῖσαρ Γαλάταις οὐδὲ ἱππάρχων Σαυρομάταις.

198 a ἀναστῆσαι δὲ τούτους ἐπτηχότας καὶ ἀνεγεῖραι αὐτῶν τὰ φρονήματα καὶ πρὸς τὸν ἀρχαῖον ζῆλον ἀναγαγεῖν ἱκανὸς μὲν ἦν καὶ Τυρταῖος, ἱκανωτέρα δὲ φιλοσοφία. Ἤδη γάρ ποτ’ ἐγὼ καὶ ἄλλοισιν βασιλεῦσι πολλάκις ὡμίλησα· καὶ οὔ ποτέ μ’ οἵ γ’ ἀθέριζον, ἀτὰρ δὴ καὶ τῷ σῷ ἀρχηγέτῃ. καί μοι ἔδοξεν ὑπερφυῶς ὁ νεανίας τά τε ἄλλα ἀγαστὸς εἶναι καὶ ἐξεταστὴς τοῦ ὁμοίου, ὅς γε οὐκ ἐν αἵματος ἀγχιστείᾳ τίθεται τὸ ξυγγενές, ἀλλ’ ἐν τρόπου φιλαληθείᾳ.

198 b ὥστε εἰ μὴ τῷ κάλλει τοῦ σώματος διηλλάττετον, κατά γε τὸ κάλλος τῆς ψυχῆς ἑνὶ ἂν ἔφην βασιλεῖ ἐντετυχηκέναι, πρός τε τῷ Ῥήνῳ καὶ πρὸς τῷ Τίγρητι. τώ τοι διατέτατον ἐκ τοῦ Ὠκεανοῦ πρὸς τὸν Τίγρητα καὶ ἐκ τῆς ἑσπέρας εἰς ἕω ὥσπερ κέρας ἓν Ἀμαλθείας, μία ψυχὴ καὶ μία γνώμη, ἐν ξυνωρίδι αὐτοκρατόρων, ᾗ καὶ ὁ παρήορος ἀκολουθήσει, ζωοδόται καὶ ὀλβοδόται, ἐφάμιλλοι ἀγωνισταὶ φιλανθρωπίας.

198 c ἀλλ’, ὦ ἀγαθοί, τὴν λήμην ὑμῶν ἀφαιρετέον ἧς χορηγεῖτε κηδεμονίας, ὅση ὑποβέβηκεν ἔτι καὶ ἐγκάθηται δυσθανατῶσα. λέγω οὖν παραστησάμενος τὸν Τυρταῖον καὶ τὸν Τυρταίου μεγαλοφωνότερον Ὅμηρον· Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι δεινόν, ὃ οὔποτ’ ἔγωγε τελευτήσεσθαι ἔφασκον, Τρῶας ἐφ’ ἡμετέρας ἰέναι πόλεις, οἳ τὸ πάρος περ φυζακινοῖς ἐλάφοισιν ἐῴκεσαν.

198 d καὶ Ἀτρείδη, σὺ δὲ ὡς πρὶν ἔχων ἀστεμφέα βουλήν, ἄρχευ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας. παράγγελλε δὲ ἐξ Ὁμήρου μὲν τοῖς στρατιώταις, Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ’ ἀσπίδα θέσθω. ἐκ φιλοσοφίας δέ, ὅτι θηξάσθω μὲν καὶ τὸ δόρυ εὖ, θηξάσθω δὲ πρὸ τοῦ δόρατος τὸν θυμόν, καὶ θέσθω μὲν εὖ τὴν ἀσπίδα, θέσθω δὲ πρὸ τῆς ἀσπίδος τὴν εὐψυχίαν, καὶ ταῦτα παραγγέλλων καὶ παρεγγυῶν, Ἐξελάσεις ἐνθένδε κύνας κηρεσσιφορήτους οὓς κῆρες φορέουσι, καὶ οἴσους’ ἐπὶ τὸν Ἴστρον, Ὄφρα τις ἐρρίγῃσι καὶ ὀψιγόνων ἀνθρώπων ξεινοδόχον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org